LanguageCert

# B1

# Test of Classical Greek

# B1_Practice Test_PB

| **Candidate's name** (block letters please) | |
|---|---|
| **Centre no** | **Date** |

**Time allowed:**

- Reading and Language Use 100 minutes

Instructions to Candidates

- An Answer Sheet will be provided.

- All answers must be transferred to the Answer Sheet.

- Please use a soft pencil (2B, HB).

## Part 1

Read the text. Choose the correct answers to complete the text.

**Σόλων καὶ Ἀνάχαρσις διαλέγονται**

**Ἀνάχαρσις:** Τίς ὁ χῶρός ἐστι; Τί δ’ ἐν αὐτῷ οἱ νεανίαι πράττουσι; Τί δὲ θαυμάζουσι **(1)** …………………… οἱ πρεσβῦται καὶ οἱ νέοι ἐν τοῖς θεαταῖς;

**Σόλων:** Ὁ χῶρος γυμνάσιόν ἐστιν καὶ **(2)** …………………… αὐτῷ οἱ θεαταὶ θαυμάζουσι τὰς ἀρετὰς τῶν νεανιῶν καὶ τὰς εὐεξίας καὶ τόλμας καὶ τὴν **(3)** …………………… τῶν ἀγωνιστῶν. Ἐπαίνου δ’ ἀπολαύουσιν οἱ νικηταί.

**Ἀνάχαρσις:** Ἐγώ, ὦ Σόλων, ἐμάνθανον ὅτι σὺ εὑρετὴς τῶν ἐθίμων εἶ καὶ εἰσηγητὴς καὶ συναρμοστὴς πολιτείας. Ἐθέλω οὖν σε διδάσκειν **(4)** …………………… ὡς μαθητὴν περὶ αὐτῶν.

**Σόλων:** Ἡμεῖς τοὺς πολίτας **(5)** …………………… τῆς πολιτείας νομίζομεν τὴν δ’ ἀνατροφὴν παιδαγωγοῖς ἐπιτρέπομεν καὶ πρὸς πόνους ἐθίζομεν τοὺς νεανίας. Ὅτε δ’ ἔφηβοί εἰσι, τοὺς μὲν ὁπλίτας, τοὺς δὲ πελταστάς, τοὺς δὲ τοξότας **(6)** …………………… . Διδάσκομεν δ’ αὐτοὺς ἀπὸ **(7)** …………………… καὶ παρὰ τῶν γεωργῶν λαμβάνομεν διδαχάς. Οἱ γὰρ γεωργοὶ τὰ φυτά, ἕως μὲν μικρά ἐστι, φυλάττουσιν, **(8)** …………………… δὲ αὐξάνει, τοῖς ἀνέμοις ἐπιτρέπουσιν. Οὕτω καὶ ἡμεῖς τοὺς νέους, ἕως μὲν παιδία εἰσί, φυλάττομεν αὐτούς, ὅτε δὲ νεανίαι γίγνονται, παρέχομεν **(9)** …………………… ἐλευθερίαν τότε γὰρ **(10)** …………………… ἔχουσι κίνδυνον.

**1.**
a) τῶν πολιτῶν
b) τοῖς πολίταις
c) τοὺς πολίτας

**2.**
a) ἐπὶ
b) σὺν
c) ἐν

**3.**
a) φιλοψευδίαν
b) φιλοτιμίαν
c) φιλολογίαν

**4.** a) μου
b) μοι
c) με

**5.** a) ψυχὴν
b) ψυχῇ
c) ψυχὴ

**6.** a) ἐτάξαμεν
b) τάττομεν
c) τετάχαμεν

**7.** a) παιδίων
b) πεδίων
c) παιγνίων

**8.** a) διότι
b) ἵνα
c) ὅτε

**9.** a) αὐτοῖς
b) αὐτῶν
c) αὐτοὺς

**10.** a) μὴ
b) οὐκ
c) μήτε

**Part 2**

Read the sentence. Choose the correct option to fill the space.

**1.** Ὁμολογεῖται τὴν ............................... πόλιν ἀρχαιοτάτην εἶναι.

a) τοὺς Ἀθηναίους
b) τῶν Ἀθηναίων
c) τοῖς Ἀθηναίοις

**2.** Χαλεπόν ἐστι ............................... ἀπαλλαγῆναι τοῦ κινδύνου.

a) τῆς πόλεως
b) ἡ πόλις
c) τῇ πόλει

**3.** Οὐκ οἶσθα τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν ............................... οὗτοι ἄριστοί εἰσιν;

a) ὅτι
b) ὥστε
c) εἰ

**4.** Ὀλίγοι αὐτῶν ............................... ἐγεύσαντο.

a) σίτους
b) σίτον
c) σίτου

**5.** Κλέαρχος ταῦτα ἔλεγεν, ἐπεὶ βούλοιτο ................................ εἶναι τοὺς Ἕλληνας.

a) εὐέλπιδες
b) εὐέλπιδας
c) εὐέλπισιν

**6.** Λέγεται Περικλέα τίμιον καὶ ................................ εἶναι.

a) σώφρονος
b) σώφρονι
c) σώφρονα

**7.** Ἀλκιβιάδης λέγεται πρὸς πατρὸς Ἀλκμεωνιδῶν ................................ .

a) ἐστί
b) εἶναι
c) ὤν

**8.** Περικλῆς ἐκκλησίαν οὐ ................................ οὐδὲ σύλλογον οὐδένα.

a) παράγει
b) ποιεῖ
c) γίγνεται

## Part 3

Read the text. Choose the correct words to complete the text. There are two extra words you will not need.

Τοιοῦτος οὖν μοι ὁ συγγραφεὺς ὁ ἱστορικὸς **(1)** ……………………, ἄφοβος, ἐλεύθερος καὶ ἀληθείας φίλος. Ἐν δὲ τῷ βίῳ καὶ γὰρ φιλόφιλον εἶναι **(2)** …………………… τὸν ἀγαθὸν ἄνδρα καὶ φιλόπατριν καὶ συμμισεῖν τοῖς φίλοις τοὺς ἐχθροὺς καὶ **(3)** …………………… τοὺς φίλους. Ὅταν δὲ τὸ τῆς ἱστορίας ἦθος ἀναλαμβάνῃ τις, χρὴ ἐπιλαθέσθαι τούτων καὶ πολλάκις μὲν εὐλογεῖν καὶ **(4)** …………………… τοῖς μεγίστοις ἐπαίνοις τοὺς ἐχθρούς, ὅταν αἱ πράξεις ἀπαιτῶσι τοῦτο, πολλάκις δ᾽ ἐλέγχειν καὶ ψέγειν τοὺς ἀναγκαιοτάτους, ὅταν αἱ τῶν ἐπιτηδευμάτων ἁμαρτίαι τοῦτο ὑποδεικνύωσιν. Ὁ συγγραφεὺς ὁ ἱστορικὸς οὐ χρὴ μισεῖν **(5)** …………………… φιλίᾳ νέμειν οὐδὲ φείδεσθαι οὐδὲ ἐλεᾶν οὐδὲ αἰσχύνεσθαι, ἀλλὰ τὰ δέοντα ἀπονέμειν.

Ἀρχαῖοι μὲν οὖν **(6)** …………………… πολλοὶ καὶ κατὰ πολλοὺς τόπους ἐγένοντο ἐν τῇ Ἐλλάδι. Ὁ δ᾽ Ἡρόδοτος, γενόμενος ὀλίγῳ **(7)** …………………… τῶν Περσικῶν πολέμων συνέγραψε ἱστορίαν οὐ περὶ πόλεως μιᾶς οὔτ᾽ ἔθνους ἑνός, ἀλλὰ περὶ πολλῶν δὲ καὶ διαφόρων πράξεων ἔκ τε τῆς Εὐρώπης ἔκ τε τῆς Ἀσίας. Θουκυδίδης οὐκ ἐπεθύμει Ἡρόδοτον μιμεῖσθαι τῆς μὲν προτέρας ἱστορίας ὑπεριδὼν ὡς εὐτελοῦς καὶ **(8)** …………………… ἀξίας καὶ πολλὰ οὐ δυνησομένης τοὺς ἀναγιγνώσκοντας ὠφελῆσαι. Θουκυδίδης Ἀθηναῖος **(9)** …………………… περὶ τῶν Πελοποννησίων καὶ τῶν Ἀθηναίων ἐλπίσας μέγαν τε **(10)** …………………… καὶ ἀξιολογώτατον τῶν προγεγενημένων.

**A.** συγγραφεῖς

**B.** σώφρονες

**C.** συναγαπᾶν

**D.** κοσμεῖν

**E.** ἔστω

**F.** κακίστου

**G.** ἥσσονος

**H.** ἔσεσθαι

**I.** οὐδὲ

**J.** συνέγραψε

**K.** πρότερον

**L.** δεῖ

**Part 4**

Read the text and the questions. Choose the correct answer for each question.

**Πλοῦς εἰς τὴν Σελήνην**

Ἡμέραν οὖν καὶ νύκτα πλέοντες ἔτι τῆς γῆς ὑποφαινομένης οὐ σφόδρα βιαίως ἀνηγόμεθα. Ὅ τε ἄνεμος σφοδρὸς ἦν
καὶ τὸ κῦμα ηὐξάνετο καὶ ζόφος ἐπεγίνετο. Ἐπλέομεν ἡμέρας ἐννέα καὶ ἑβδομήκοντα, τῇ ὀγδοηκοστῇ δὲ ἐκλαμψάσης σελήνης καθορῶμεν οὐ πόρρω νῆσον ὑψηλὴν καὶ δασεῖαν, Σελήνην καλουμένην. Ἀποβάντες ἐκ τῆς νεὼς ἀπεκρίναμεν ἡμῶν αὐτῶν τριάκοντα μὲν φύλακας τῆς νεὼς παραμένειν, εἴκοσι δὲ σὺν ἐμοὶ ἀνελθεῖν ἐπὶ κατασκοπῇ τῶν ἐν τῇ νήσῳ.

Ἔστι μὲν ἐν τῇ νήσῳ λίμνη βαθεῖα καὶ κυανῆ κειμένη πλησίον τῆς ὕλης καὶ ναὸς μέγας ἐκ λίθου πλησίον μὲν τῆς ἀγορᾶς καὶ πόρρω τῆς ὕλης. Ἐμφύουσι δ᾽ ἐν αὐτῇ φοίνικες συχνοὶ καὶ ἄλλα δένδρα καὶ καρποφόρα καὶ ἄφορα πολλά.

Γένος ἐστὶν ἐν τῇ Σελήνῃ Σεληνῖται καλούμενον. Αἱ μὲν τῶν Σεληνιτῶν γυναῖκες καὶ οἱ αὐτῶν παῖδες ἀγοράζουσι καὶ καπηλεύουσι, οἱ δὲ ἄνδρες κατ᾽ οἴκους ὄντες ὑφαίνουσι. Τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλῶν φοροῦσιν, αἱ δὲ γυναῖκες ἐπὶ τῶν ὤμων. Εἵματα δὲ λινᾶ φοροῦσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλιστα προτιμῶντες καθαροὶ εἶναι. Ἐσθῆτα δὲ ἐφόρουν οἱ ἱερεῖς λινῆν μόνην καὶ ὑποδήματα ξύλινα καὶ εἶχον κόμην μακράν. Ἄλλην δὲ σφίσιν ἐσθῆτα οὐκ ἔξεστι λαβεῖν οὐδὲ ὑποδήματα ἄλλα. Λοῦνται δὲ δίς τε τῆς ἡμέρας ἑκάστης ψυχρῷ καὶ δὶς ἑκάστης νυκτός.

Ὅτε ἦν ἐν τῇ Σελήνῃ, ἐδυνάμην τοὺς ἐμοὺς οἰκείους ἰδεῖν. Κάτοπτρον δὲ μέγιστον κεῖται ὑπὲρ φρέατος οὐ πάνυ βαθέος. Ἂν μὲν οὖν εἰς τὸ φρέαρ καταβῇ τις, ἀκούει πάντων τῶν ἐν τῇ γῇ λεγομένων, ἐὰν δὲ εἰς τὸ κάτοπτρον ἀποβλέψῃ, πάσας μὲν πόλεις, πάντα δὲ ἔθνη ὁρᾷ. Τότε καὶ τοὺς οἰκείους ἐγὼ ἐθεασάμην καὶ πᾶσαν τὴν πατρίδα, εἰ δὲ κἀκεῖνοι ἐμὲ ἑώρων, οὐκέτι ἔχω εἰπεῖν.

**1.** Τί ἐστὶ ἀληθές;

a) Ὅτε πλοῦς ἐγένετο, αἰθρία ἦν.
b) Ὅτε πλοῦς ἐγένετο, χειμὼν ἦν.
c) Ὅτε πλοῦς ἐγένετο, χιὼν ἔπιπτε.

**2.** Πόσοι ἀπέβησαν ἐκ τῆς νεώς;

a) Εἷς καὶ εἴκοσι.
b) Εἴκοσι.
c) Τριάκοντα.

**3.** Ποῦ ἦν ὁ τῶν Σεληνιτῶν ναός;

a) Ἐν τῇ λίμνῃ.
b) Πόρρω τῆς ἀγορᾶς.
c) Μακρὰν τῆς ὕλης.

**4.** Τίνες μένουσιν ἐν ταῖς οἰκίαις;

a) Οἱ ἄνδρες.
b) Αἱ γυναῖκες.
c) Οἱ παῖδες.

**5.** Τί λούουσιν οἱ ἱερεῖς;

a) Ἑαυτούς.
b) Τὰς ἐσθῆτας.
c) Τὴν κόμην.

**6.** Τίνι τρόπῳ ἑώρα ὁ συγγραφεὺς τοὺς οἰκείους;

a) Διὰ τοῦ φρέατος.
b) Διὰ τῆς γῆς.
c) Διὰ τοῦ κατόπτρου.

**Part 5**

Read the text. Use the sentences to complete the text. Choose the correct sentence for each gap. There is one extra sentence you will not need.

Σκέψασθε γάρ, ὦ Ἀθηναῖοι, καὶ τοῦτο. **(1)** …………………… . Πρῶτον μὲν γὰρ περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν ἡμετέρων ἐνομοθέτησαν. Ἀπέδειξαν δὲ ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον ἐπιτηδεύειν, καὶ ὡς δεῖ αὐτὸν τραφῆναι, ἔπειτα δεύτερον περὶ τῶν μειρακίων. **(2)** …………………… . Καὶ τούτους τοὺς νόμους ἀναγράψαντες ὑμῖν παρακατέθεντο. Καὶ ὑμᾶς αὐτῶν ἐπέστησαν φύλακας.

**(3)** …………………… . Καὶ τοὺς διδασκάλους τὰ διδασκαλεῖα καὶ τοὺς παιδοτρίβας τὰς παλαίστρας ἀνοίγειν μὲν ἀπαγορεύει μὴ πρότερον πρὶν ἂν ἥλιος ἀνίσχῃ, κλῄειν δὲ προστάττει πρὸ ἡλίου δεδυκότος. **(4)** …………………….

Ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα ἄνδρα γενόμενον χρήσιμον ἔσεσθαι τῇ πόλει. Ὅταν δ᾽ ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρά ἐστι, πολῖται γίγνονται κακοί. Ὁ μὲν γὰρ λόγος τροφὴ διανοίας ἐστί, τοῦτον δ᾽ ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. Πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν ἁμαρτάνειν ἀλλὰ τῶν τε αἰσχρῶν λόγων και ἔργων ἀπέχειν. **(5)** …………………… .

Νόμος δὲ τοὺς συκοφάντας ἀπὸ τοῦ βήματος ἐξείργει. Ἔστι δ᾽ οὐδὲν ὄφελος, ὦ ἄνδρες Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώπους ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς. Τοῦτο οὕτως ἔχει, διότι οὗτοι οὐκ αἰσχύνονται. **(6)** …………………… . Ἐὰν μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι ὀρθοὶ καὶ κύριοι, ἐὰν δὲ μὴ κολάζητε τούτους, ὀρθοὶ μέν, κύριοι δὲ οὐκέτι.

**A.** Τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιοῦσι.

**B.** Οὕτω ἐξ ἀγαθῶν πατέρων ἀγαθοὶ παῖδες γίγνονται.

**C.** Ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου.

**D.** Νομοθέται δὲ ἐνομοθέτησαν καὶ περὶ τῶν διδασκαλείων καὶ περὶ τῶν γυμνασίων.

**E.** Ἀλλὰ τιμωρίαις τούτους ἀπεθίζειν χρή.

**F.** Ὁ Σόλων καὶ ὁ Δράκων καὶ οἱ λοιποὶ νομοθέται ἐποίησαν πρόνοιαν περὶ σωφροσύνης.

**G.** Τρίτον δ' ἐνομοθέτησαν περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ μόνον περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων.